II. 1 ιθ′ Περὶ τοῦ κόσμου·
οὗ ἡ ἀρχή· τὸν κόσμον ἀεὶ λέγοντες.

IV. 6 κ′ Περὶ αἰσθήσεως καὶ μνήμης·
οὗ ἡ ἀρχή· τὰς αἰσθήσεις οὐ τυπώσεις.

VI. 1 κα′ Περὶ τῶν τοῦ ὄντος γενῶν πρῶτον·
οὗ ἡ ἀρχή· περὶ τῶν ὄντων πόσα καὶ τίνα.

VI. 2 κβ′ Περὶ τῶν τοῦ ὄντος γενῶν δεύτερον·
οὗ ἡ ἀρχή· ἐπειδὴ περὶ τῶν λεγομένων.

VI. 3 κγ′ Περὶ τῶν τοῦ ὄντος γενῶν τρίτον·
οὗ ἡ ἀρχή· περὶ μὲν τῆς οὐσίας ὅπῃ δοκεῖ.

III. 7 κδ′ Περὶ αἰῶνος καὶ χρόνου·
οὗ ἡ ἀρχή· τὸν αἰῶνα καὶ τὸν χρόνον.

Ταῦτα τὰ εἴκοσι καὶ τέτταρα ὄντα ὅσα ἐν τῷ ἑξαέτει χρόνῳ τῆς παρουσίας ἐμοῦ Πορφυρίου ἔγραψεν, ἐκ προσκαίρων προβλημάτων τὰς ὑποθέσεις λαβόντα, ὡς ἐκ τῶν κεφαλαίων ἑκάστου τῶν βιβλίων ἐδηλώσαμεν, μετὰ τῶν πρὸ τῆς ἐπιδημίας ἡμῶν εἴκοσι καὶ ἑνὸς τὰ πάντα γίνεται τεσσαρακονταπέντε.

**6.** Ἐν δὲ τῇ Σικελίᾳ διατρίβοντός μου—ἐκεῖ γὰρ ἀνεχώρησα περὶ τὸ πεντεκαιδέκατον ἔτος τῆς βασιλείας Γαλιήνου—, ὁ Πλωτῖνος γράψας πέντε βιβλία ἀποστέλλει μοι ταῦτα·

I. 4 α′ Περὶ εὐδαιμονίας·
οὗ ἡ ἀρχή· τὸ εὖ ζῆν καὶ εὐδαιμονεῖν.

III. 2 β′ Περὶ προνοίας πρῶτον·
οὗ ἡ ἀρχή· τὸ μὲν τῷ αὐτομάτῳ.

III. 3 γ′ Περὶ προνοίας δεύτερον·
οὗ ἡ ἀρχή· τί τοίνυν δοκεῖ περὶ τούτων.

V. 3 δ′ Περὶ τῶν γνωριστικῶν ὑποστάσεων καὶ τοῦ ἐπέκεινα·
οὗ ἡ ἀρχή· ἆρα τὸ νοοῦν ἑαυτὸ ποικίλον δεῖ εἶναι.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416137067/17 UNIVERSITÄT LEIPZIG